mūnĭcĭpātim, ἐπίρ. κατ' ἰσοπολίτιδας πόλεις, ὥσπερ ἰσοπολίτιδες πόλεις.

mūnĭcĭpĭum, ii, οὐ. (municeps), ἰσοπολῖτις πόλις, πόλις ἐν Ἰταλίᾳ (ἐπὶ δὲ αὐτοκρατόρων καὶ ἐκτὸς τῆς Ἰταλίας αὐτόνομος καὶ αὐτόδικος, ἧς οἱ πολῖται τῆς ἐν Ῥώμῃ πολιτείας μετεῖχαν (τὸ μὲν πρῶτον ὡς ἐπὶ τὸ πολὺ ἄνευ ψήφου, εἶτα δὲ μετὰ ψήφου).

mūnĭfĭce, ἐπίρ. φιλοδώρως, ἐλευθερίως, εὐεργετικῶς.

mūnĭfĭcentĭa, ae, θ. φιλοδωρία, μεγαλοδωρία, ἐλευθεριότης, εὐεργεσία.

mūnĭfĭco, ā', δωροῦμαί τινά τινι.

mūnĭfĭcus, a, um (-entior, -entissimus) [munus, facio], φιλόδωρος, μεγαλόδωρος, ἐλευθέριος, εὐεργετικός.

mūnīmen, ĭnis, οὐ. (π.) καὶ **mūnīmentum**, i, οὐ. (munio)· 1) τείχισμα, περιτείχισμα, ἔρυμα, ὀχύρωμα, χαράκωμα· 2) ἔρυμα, ἔρεισμα, στήριγμα, σκέπη, σκέπασμα· -urbis, τὸ ἔρυσμα τῆς πόλεως (= ὁ Ὁράτιος Κόκλης).

mūnĭo (ἀρχ. moenio), īvi καὶ ĭi, ītum, ī'. (moenia)· 1) τειχίζω, κατασκευάζω τεῖχος· -viam, ὁδοποιῶ, ἐντ. -silvam, rupem, ὁδὸν τέμνω διά, πορεύσιμον ποιῶ· μετφ. -viam ad consulatum, τὴν ἐπὶ τὴν ὑπατείαν ὁδὸν τέμνω· 2) τειχίζω, ὀχυρῶ, χαρακῶ τι· 3) μετφ. σκεπάζω, ἀσφαλίζω, φυλάττω τι.

mūnis, e, θεραπευτικός, ὑπηρετικός.

mūnītio, ōnis, θ. (munio)· 1) τειχισις· -operis, ἡ ὀχύρωσις· -fluminum, ἡ περιχάρωσις· -viarum, ἡ ὁδοποίησις· 2) περιτείχισις, ὀχύρωσις, oppidi· 3) = munimentum τείχισμα, περιτείχισμα, ἔρυμα, ὀχύρωμα.

mūnīto, ā'. ἰσχυρότ. τοῦ munio μετφ. -viam, ὁδὸν τέμνω.

mūnītor, ōris, ἀ. (munio)· 1) (π.) ὁ κτίστης, οἰκιστής, Trojae· 2) ὁ τειχιστής, ὁ ὀχυρῶν, μάλ. = ὑπονομευτής.

mūnītus, a, um (-ior, -issimus) ὀχυρός, ἀσφαλής.

mūnus, ĕris, οὐ. 1) τὸ ἔργον, τὸ προσῆκον, τὸ καθῆκον (κατ' ἔννοιαν νομικήν, πρβλ. officium, ὃ τὸ ἠθικὸν καθῆκον δηλοῖ)· hoc est m. tuum, σὸν ἔργον τοῦτό ἐστιν· m. -et officium, ἔργον καὶ καθῆκον· fungor -e interpretis, ἔργον ἑρμηνέως ἐπιτελῶ· 2) ἡ λειτουργία, τὸ δημόσιον ὑπούργημα, ἡ ἀρχή: -a reipublicae = τὰ τῆς πόλεως πράγματα· summa -a, αἱ ἀνώτατα ἀρχαί· omni civium -e functus = ἰσοτελής· -a belli, τὰ στρατιωτικὰ ἔργα· vaco -e, ἀλειτούργητός εἰμι, στρατιωτικῶν ἔργων ἀπήλλαγμαι· 3) ὑπούργημα, θεραπεία, ὑπηρεσία, χάρις: -e fungor, ὑπουργῶ, ὑπηρετῶ τινι· tui muneris sum, χάριν σοι ὀφείλω· ἐντ. α)-e rei alicujus = διά τινος· 6) = ἡ κηδεία: effero aliquem amplo -e, μεγαλοπρεπῶς κηδεύω τινά· 4) χάρις, χάρισμα, δῶρον: do alicui aliquid -i, πέμπω τινί τι δῶρον· 5) θέαμα, μονομαχία, ἑστίασις, (καθ' ὅσον ταῦτα παρείχοντο τῷ λαῷ αἱ ἀρχαί, μάλ. δὲ οἱ ἀγορανόμοι): functus est maximo -e aedilico, ἀγορανόμος ὢν μέγιστον θέαμα παρέσχετο· ἐντ. (μ.) τὸ διὰ θεάματα οἰκοδόμημα, τὸ θέατρον· μετφ. = ὁ κόσμος (ὡς θεῖον οἰκοδόμημα).

mūnuscŭlum, i, οὐ. μικρὸν δῶρον.

Mūnўchĭa, ae, θ. Μουνυχία, λιμὴν Ἀθηνῶν· ἐντ. **-chĭus**, a, um, Μουνύχιος· (π.) = Ἀθηναῖος, τῶν Ἀθηναίων.

mūraena, ae, θ. μύραινα, (ἰχθύς).

mūrālis, e, (murus), τειχικός, τῶν τειχῶν, falces δρέπανα· μάλ. m. corona α) ὁ τειχικὸς στέφανος, ὁ ἐν τῇ ἁλώσει πόλεως ὡς ἀριστεῖον διδόμενος στέφανος τῷ πρώτῳ ἐπὶ τὰ τείχη ταύτης ἀναβάντι· 6) ὁ τείχεσι καὶ πύργοις κεκοσμημένος στέφανος τῆς Κυβέλης.

Murcia, ae, θ. (myrtus?) ἡ Μυρκία, ἐπίκλησις τῆς Ἀφροδίτης.

Mūrēna, ae, ἀ. ὁ Μουρήνας.

mūrex, ĭcis, ἀ. 1) πορφύρα, κογχύλη· 2) (π.) πορφύρα, πορφυροῦν χρῶμα· 3) ὀξεῖα πέτρα.

Murgantĭa, ae, θ. Μοργαντία· 1)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόλις τῆς Σαμνίτιδος· 2) (καὶ **Murgentia**), πόλις Σικελίας· ἐντ. **-tīnus**, a, um, Μαργεντῖνος, καὶ οὐσ. **-tīni**, ōrum, ἀ. πλ. οἱ Μαργεντῖνοι.

mŭrĭa, ae, θ. ἅλμυρίς, ἅλμη.

mūrĭātĭcus, a, um (Πλ.) ἁλμευθείς.

mūrĭcīdus, a, um (mus, caedo) (Πλ.), μυοκτόνος· μετφ. = νωθρός.

mūrīnus, a, um, μύϊνος, τοῦ μυός, pellis δορά.

murmur, ŭris, οὐ. 1) ψιθυρισμός, γογγυσμός, θόρυβος (πολλῶν ἡσύχως διαλεγομένων)· (π.) m. longum, ἥσυχος προσευχή· 2) κάχλασμα ὕδατος, βόμβος μελισσῶν, ῥόθος θαλάσσης, ὄουπος βροντῆς, ῥοῖζος ἀνέμου, ψόφος σεισμοῦ, ὀθόγγος, κλαγγὴ ἐμπνευστοῦ ὀργάνου.

murmŭrātĭo, ōnis, θ. ψιθυρισμός, γογγυσμός, τονθορύς.

murmŭro, α΄. 1) μορμύρω, ψιθυρίζω, καχλάζω, ἐντ. βομβῶ, ῥοθῶ, ψοφῶ κτλ. (ἰδὲ murmur)· 2) ἐπὶ ἀνθρ. ψιθυρίζω, γογγύζω, τονθορύζω, ὑποθορυβῶ.

murrha, ae, θ. μύρρα, μορρία, μορρίνη λιθίνη (εἶδος πορκελλάνης ἐξ ἧς πολύτιμα σκεύη κατεσκευάζοντο).

murrhĕus, a, um· 1) = murrhinus· 2) = myrrheus.

murrhĭnus, a, um· 1) μόρρινος, ἐκ μορρίνης λιθίας, ἰδὲ murrha· 2) = myrrheus.

murreus, ἑτέρα γραφὴ τοῦ murrhinus.

murtus, ἰδὲ myrtus.

mūrus, i, ἀ. 1) τεῖχος, συνήθ. ἐν τῷ πληθ. muri, τεῖχη (πόλεως)· ἐντ. μετφ. = τεῖχος, σκέπη, ἔρκος· 2) (μ.) χεῖλος ὀοχείου.

mus, mūris, (γεν. πληθ. -ium καὶ σπ. -um), ἀ. μῦς: rusticus ἢ agrestis, ὁ ἀρουραῖος μῦς, ἀντίθ. urbanus ὁ κατοικίδιος μῦς.

Mūsa, ae, θ. ἡ Μοῦσα, καὶ πληθ. Musae, ārum, αἱ Μοῦσαι, αἱ τοῦ Διὸς καὶ τῆς Μνημοσύνης θυγατέρες: μετφ. (μ.) crassiōre -ā, ἀμούσως· 2) μετφ. α) = ποίησις, ποίημα, ᾠδή· β) = ἡ παιδεία, ἡ περὶ τὰ γράμματα ἀπουδή· -ae mansuetiores = ἡ φιλοσοφία.

Mūsaeus, i, ἀ. Μουσαῖος.

musca, ae, θ. (μυῖσκα, ὑποκ. τοῦ) μυῖα, μετφ. ὀχληρὸς ἄνθρωπος.

muscĭpŭla, ae, θ. καὶ **-lum**, i, οὐ (mus, capio) (μ.), μυάγρα.

muscōsus, a, um, (-ior) βρυώδης

muscŭlus, i, ἀ. (ὑποκ. τοῦ mus)· 1) (μικρὸς) μῦς· 3) μῦς (τοῦ σώματος), μυών· 3) πολιορκητικὴ μηχανή, εἶδος κινουμένης στέγης, ὑφ' ἣ οἱ πολιορκηταὶ ἵσταντο.

muscus, i, ἀ. βρύον, μνίον.

mūsēus, a, um, μουσεῖος, τῶν Μουσῶν· ἐντ. οὐσ. **musēum**, i, οὐ, μουσεῖον.

mūsĭca, ae, θ. ἢ **-ce**, es, θ. ἡ μουσική (τέχνη μετὰ τῆς ποιήσεως ἢ ἄλλων ἐλευθερίων τεχνῶν).

mūsĭce, ἐπίρ. (Πλ.) κομψῶς, πολυτελῶς.

mūsĭcus, a, um, μουσικός, ἐντ. οὐσ. α) **-cus**, i, ἀ. ὁ μουσικός· β) **-ca**, ōrum, οὐ. πλ. τὰ μουσικά, ἡ μουσική: dedo me musicis, Κικέρ.

mussĭto, α΄. (musso)· 1) μύζω, γρύζω, ψιθυρίζω, ἡσύχως ὁμιλῶ, metu ἐκ φόβου· apes -ant, αἱ μέλισσαι βομβοῦσιν· ἐντ. μεταβ. α) ψιθυρίζω, ἡσύχως λέγω τι· 2) κρύπτω injuriam.

musso, α΄. (mutio)· 1) μύζω, γρύζω, ψιθυρίζω, ἡσύχως ὁμιλῶ· 2) σιωπῶ, ἀναυδος ἀναμένω, Βεργ. 3) ἐνδιαιάζω, ὀκνῶ, dicere λέγειν.

mustācĕus, ĕi, ἀ. ἢ **-cĕum**, i, οὐ. μουστάκιον (κοιν. μουστόπητα).

mustēla, ae, θ. ἡ ἰκτὶς (κοιν. νυφίτσα).

mustelīnus, a, um, ἰκτίδειος.

mustĕus, a, um, (mustum), ἐκ γλεύκους· ἐντ. = χλωρός, πρόσφατος.

mustus, a, um· 1) (ἀρχ.) νέος, πρόσφατος, aqua, vinum· 2) οὐσ. **mustum** i, οὐ. γλεῦκος· β) (π.) tercentum mustum video, τριακοσίων ἐτῶν ἡλικίαν ἔχω.

Musulāmii, ōrum, ἀ. πλ. Μουσουλάμιοι, ἔθνος τῆς Νομαδικῆς.

Mūta, ae, θ. ἡ Ἄφωνος, νύμφη, ἡ καὶ Lara καὶ Tacita καλεῖται.

mūtābĭlis, e, (-ior), μεταβλητός, εὐμετάβλητος, ἄστατος.

mūtābĭlĭtas, ātis, θ. (mutabilis), τὸ μεταβλητόν, ἡ εὐμεταβλησία.

mūtātĭo, ōnis, θ. (muto)· 1) μεταβολή, ἀλλοίωσις· -rerum, ἡ τῆς πολιτείας μεταβολή, ὁ νεωτερισμός· 2) μεταβολή, ἀλλαγή, ἀνταλλαγή· 3) ῥη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τορ. τεχν. ὄρ. = ἀλλοίωσις, ὑπαλλαγή.

mūtĭlo, āvi. (mutilus) 1) ἀκρωτηριάζω, κολοβῶ, caudam, corpora. 2) μετφ. μειῶ, ἐλαττῶ, exercitum.

mūtĭlus, a, um, μίτυλος, ἡ μύτιλος, κολοβός, ἠκρωτηριασμένος. bos, aries, m. ἀκέρατος· navis· m. ναῦς τὸ ἔμβολον ἀποβαλοῦσα· μετφ. ἐπὶ λόγου· κολοβός, σύντομος.

Mūtĭna, ae, θ. Μουτίνη, πόλις τῆς ἄνω Ἰταλίας, τανῦν Modena. Ἐντ. **-nensis**, e, τῆς Μουτίνης· m. proelium, ἡ περὶ Μουτίνην μάχη.

mūtĭo, īvi, ītum, δ'. μύζω, γρύζω.

mūtītĭo, ōnis, θ. μυγμός. (κοιν. μούγγρισμα).

1. mūto, ā'. (ἀντὶ movito, ὃ ἐκ τοῦ moveo)· 1) (σπ.) μετακινῶ, μετατίθημι, μεθίστημί τι: mutor finibus, civitate, μετανίσταμαι, ἐκδιώκομαι ἐκ τῆς χώρας, ἐκ τῆς πόλεως· muto ἢ mutor, μεθίσταμαι, ἀπέρχομαι, aliquo loco ἔκ τινος τόπου· ἐπὶ δένδρων = μεταφυτεύομαι· 2) ἀλλάττω, μεταλλάττω, μεταβάλλω, testimonium, sententiam, ἐντ. α) -solum, μεταβάλλω τόπον, φεύγω (ἐξορίζομαι)· ἀλλὰ -terras ἢ lares et urbem, εἰς ἄλλην γῆν, εἰς ἄλλην πόλιν μεταβαίνω· β) -colorem, μεταβάλλω χρῶμα· -vellera luto, κρόκιον χρῶμα τὰ ἔρια βάπτω· γ) vinum mutatum (Ὁρατ.) = οἶνος τετραμμένος, ἐκτροπίας· 3) μεταβάλλω, ἀλλοιῶ, μεταποιῶ, μεταμορφῶ τι· 4) -aliquid cum aliqua re, ἀλλάττω τι ἀντί τινος, ἐντ. = αἱροῦμαί τι ἀντί τινος· 5) ἀμεταβ. α) μεταβάλλομαι, ἀλλοιοῦμαι, διαφέρω· β) μεταπίπτω εἴς τι, in superbiam εἰς ὑπερηφανίαν, ὑπερήφανος γίγνομαι.

2. mūto, ōnis, ἀ. τὸ πέος, ὁ φαλλός.

mūtuātĭcius, ἡ (**-tīcĭus**), a, um (μ.) δανειστικός.

mūtuātĭo, ōnis, θ. ὁ δανεισμός.

mūtŭe, ἐπίρ. ἀμοιβαίως.

mūtuĭtans, ntis, (μετχ. τοῦ ἄλλως ἀχρ. mutuor) δανείσασθαι βουλόμενος.

mūtŭo, ἐπίρ. = mutue, ἀμοιβαίως· me m. diligas, ἀντιφιλεῖς με.

mūtŭor, ἀποθ. α'. καὶ **-tŭo**, α'. δανείζομαι, pecuniam ab aliquo χρήματα παρά τινος, domum οἰκίαν πρὸς οἴκησιν· μετφ. παραλαμβάνω τι παρά τινος· μετφ. verbum a simili, μεταφορικῶς λέγω.

mūtus, a, um 1) ἄφωνος, ἄλαλος, homo· 2) ἄφωνος, σιωπηλός, ἡσυχος, mare, lyra· ἐντ. artes -ae, αἱ εἰκαστικαὶ τέχναι· μεταφ. tempus m. a literis, χρόνος ἐν ᾧ οὐδὲν ἐγράφθη· 3) (γραμμ.) consonantes -ae, τὰ ἄφωνα.

mūtŭus, a, um, (ἐκ τοῦ mut-o, ὡς τὸ riguus ἐκ τοῦ rig-o)· 1) δανειζόμενος: pecuniam do -am, δανείζω ἀργύριον· pecunias -as sumo ab aliquo, ἀργύριον δανείζομαι παρά τινος· argentum -um rogo, exoro, δάνειον αἰτοῦμαι· 2) ἀμοιβαῖος, metus φόβος· mutuum mecum facit, ὁμοίως ἠμείψατό με· (π.) mutua ἢ per mutua, ἐπιρρημ. = ἀμοιβαίως.

Mūtўce, es, θ. Μοτύκα, πόλις τῆς Σικελίας· ἐντ. **-censis**, e, Μοτυκαῖος καὶ οὐσ. **-censes**, ium, ἀ. πλ. οἱ Μοτυκαῖοι.

Mўcăle, es, θ. Μυκάλη, ἀκρωτήριον Ἰωνίας.

Mўcēnae, ārum, θ. πλ. ἡ **-ne**, es, θ. Μυκῆναι, (π.) Μυκήνη· ἐντ. 1) **-naeus**, a, um, Μυκηναῖος· 2) **-nenses**, ium, ἀ. πλ. οἱ Μυκηναῖοι· 3) **-nis**, ĭdis, αἰτ. ĭda θ. Μυκηνίς = ἡ Ἰφιγένεια.

Mўcŏnos, i, θ. Μύκονος, νῆσος.

Mygdŏnes, um, ἀ. πλ. Μύγδονες, ἔθνος Θρακικόν, μεταναστεῦσαν εἰς Φρυγίαν, Βιθυνίαν καὶ Μεσοποταμίαν· ἐντ. 1) **Mygdonĭa**, ae, θ. Μυγδονία, χώρα τῆς Φρυγίας· 2) **Mygdŏnĭdes**, ae, ἀ. Μυγδονίδης· 3) **Mygdŏnis**, ĭdis, θ. Μυγδονίς = Λυδία· 4) **Mygdŏnĭus**, a, um (π.) Μυγδόνιος = Λύδιος, Φρύγιος.

Mўlae, ārum, θ. πλ. Μυλαί, φρούριον ἐπὶ τῆς νήσου Ζάγκλης.

Mўlăsa, ae, θ. Μύλασα, πόλις τῆς Καρίας· ἐντ. 1) **Mўlăsēni**, ōrum, ἡ **-senses**, ium, ἀ. πλ. οἱ Μυλασεῖς· 2) **-sĕus**, a, um, Μυλασεύς.

Myndus, i, θ. Μύνδος, ἐπίνειον τῆς Καρίας· ἐντ. **Myndĭi**, ōrum, ἀ. πλ. οἱ Μύνδιοι.

myŏpăro, ōnis ἀ. μυοπάρων, εἶδος ἐλαφροῦ πλοίου.

myrīce, es, θ. ἡ **-ca**, ae, θ. μυρίκη (εἶδος θάμνου).

Mўrīna, ae, θ. Μύρινα, ὀχυρὰ πόλις τῆς Μυσίας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Myrmēcĭdes, ae, θ. Μυρμηκίδης, ὀνομαστὸς ἐρμογλύφος.

Myrmĭdŏnes, num, ἀ. πλ. Μυρμιδόνες.

Mўro, ōnis, ἀ. Μύρων, ὀνομαστὸς γλύπτης.

mўrŏpōla, ae, ἀ. μυροπώλης.

mўrŏpōlĭum, i, οὐ. μυροπώλιον.

myrrha, (murrha murra), ae, θ. 1) μύρρα, σμύρνα, μύρον· 2) δένδρον Ἀραβίας ἐξ οὗ ἡ σμύρνα στάζει· 3) κύρ. ὄν. ἡ Μύρρα.

myrrhĕus (murrheus, murreus) 1) μύρρινος· 2) μυρρίτης (ὑπόξανθος), onyx ὄνυξ.

myrrhĭnus, (murrhinus), a, um, (Πλ.) μύρρινος.

myrtētum, i, οὐ. (myrtus), μυρσινών.

myrtĕus, a, um, (myrtus)· 1) μύρτινος, μύρσινος, corona· 2) (π.) α) μύρτοις κεκοσμημένος, corona στέφανος· 2) μυρσινοειδής.

Myrtĭlus, i, ἀ. Μυρτίλος, υἱὸς Ἑρμοῦ, ἡνιόχος Οἰνομάου.

Myrtos, i, θ. Μύρτος, νῆσος ὑπὸ τὴν Εὔβοιαν· ἐντ. **Myrtōus**, a, um, mare, τὸ Μυρτῶον πέλαγος.

Myrtus, i, ἡ us, θ. μύρτος, μυρσίνη.

Mys, os, ἀ. Μῦς, ὀνομαστὸς τορευτής, σύγχρονος Φειδίου.

Myscĕlus, i, ἀ. Μύσκελος.

Mўsi, ōrum, ἀ. πλ. Μυσοί· ἐντ. **Mўsus** ἡ **Mўsius**, a, um, Μύσιος· **Mўsĭa**, ae, ἡ Μυσία.

mysta, ae, ἡ **-es**, ae, ἀ. μύστης.

mystăgōgus, i, ἀ. μυσταγωγός.

mystērĭum, ĭi, οὐ. μυστήριον.

mystĭcus, a, um, μυστικός.

Mўtĭlēnae, ārum, θ. πλ. ἡ **-ne**, es, θ. Μυτιλήνη, ἐντ. **-naeus**, a, um, ἡ **-nensis**, e, Μυτιληναῖος.

mўtĭlus, ἰδὲ mitylus.

Myus, untis, θ. Μυοῦς, πόλις τῆς Καρίας, ἡ μικροτάτη τῶν τοῦ Ἰωνικοῦ δεσμοῦ.

N

N, **n**, τὸ τρισκαιδέκατον γράμμα τῆς Λατιν. Ἀλφαβήτου, ἐκφωνούμ. en.- Συντόμως γεγραμ. N. δηλοῖ τὸ προωνύμιον Numerius.

Năbătaei, ōrum, ἀ. πλ. Ναβαταῖοι, ἔθνος Ἀραβίας· ἐντ. **-taeus**, a, um (π.) Ναβαταῖος, = Ἀραβικός.

1. nabis, (ἄκλ.) καμηλοπάρδαλις.

2. Nabis, ĭdis, ἀ. Νάβις, τύραννος τῆς Σπάρτης.

nablia, ἰδὲ naulia.

nactus ἡ **nanctus**, a, um, μετχ. τοῦ nanciscor.

nae (ὀρθότ. nē), ἐπίρ. ναί, νή. συχν. ἑνοῦται ἄντων. (nae tu, tu nae, ναὶ μὰ τὸν Δία, σύ γε), ἢ ἄλλῳ τινὶ βεβαιωτ. μορίῳ) (medius fidius nae tu, νὴ Δία σύ γε.

naenia, ἰδὲ nenia.

Naevĭus, a. um, Ναίβιος, τοῦ Ναιβίου· οὐσ. ἀ. ὁ Ναίβιος, ἐπικὸς καὶ δραματ. ποιητὴς (250 π. Χ.).

naevŭlus, i, ἀ. μικρὸς φακὸς (κηλίς).

naevus, i, α. φακός, κηλὶς σώματος.

Nahanarvāli, ōrum, ἀ. πλ. Ναναρβάλιοι, ἔθνος Γερμανικόν.

Nāïas, ădis ἡ **Nāïs**, ĭdis θ. Ναΐας, Ναΐς· Naïdes, πλ. αἱ Ναΐάδες· (π.) = τὸ ὕδωρ· μετφ. πᾶσα Νύμφη.

nam, σύνδ. αἰτιολ. καὶ διασαφ., γάρ, ἐπεί (διότι, ὅῆλα ὅή)· 1) τίθεται ἐν ἀρχῇ τῆς προτάσεως, ἐνίοτε δὲ παρὰ ποιητ. καὶ μετ' ἄλλην λέξιν (his n. plebecula gaudet)· 2) ἐν ἐρωτηματ. προτάσεσι τίθεται πρὸς ἐντονωτέραν ἔκφρασιν τῆς ἐρωτήσεως: nam quis ἢ quis nam καὶ συνήθ. quisnam = τίς γάρ; τίς ποτε; 3) ἑνοῦται τοῖς mehercule, edepol = ναὶ μὰ τὸν Δία· 4) = autem, vero: n. quod de Appio scribis, ὅ,τι δὲ περὶ τοῦ Ἀππίου γράφεις.

nam-que, (παρὰ Κικέρ. πρὸ φωνήεντος, παρὰ τοῖς ἄλλοις δὲ καὶ πρὸ συμφώνου), συνδ. αἰτιολ. ἐντονώτερος τοῦ nam, γάρ, ἐπεί, ἐπεί τοι (= ἐπειδὴ τῷ ὄντι)· ἰδὲ nam.

nanciscor, nactus ἢ nanctus sum, ἀποθ. γ'. 1) τυγχάνω, ἐπιτυγχάνω τι-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

νώς, λαγχάνω, λαμβάνω τι (συνήθ. ἀνέλπιστον ἀγαθόν· πρβλ. accipio, adipiscor, impetro), rem aliquam; (σπ.) -morbum, febrim, νόσος, πυρετὸς λαμβάνει με· 2) καταλαμβάνω, εὑρίσκω τι, castra, locum.

Nannētes ἡ **Namnētes**, tum, ἀ. πλ. Ναμνῆται, ἔθνος τῆς ὀυτ. Γαλλίας.

nānus, i, ἀ. νᾶνος κ. νάννος (Λατιν. pumilio)· (μ.) καὶ = μικρὸς ἵππος.

Nāntŭātes, ium ἀ. Ναντουᾶται, Ἀλπειον ἔθνος.

Napaeae, ārum, θ. πλ. (π.) Ναπαῖαι νύμφαι.

Nar, āris, ἀ. Νάρνος, ποτ. Ἰταλίας ἐνούμενος ἐν τῇ Ὀμβρικῇ τῷ Τιβέρει.

Narbo, ōnis, ἀ. ἡ Ναρβών, πόλις τῆς Γαλλίας, ἢ ὡς Ρωμαϊκὴ ἀποικία N. Martius ἐκαλεῖτο,

narcissus, i, ἀ. 1) νάρκισσος (φ.)· 2) κύρ. ὄν. ὁ Νάρκισσος.

nardĭnum, i, οὐ. (vinum), ναρδίτης οἶνος.

nardus, i, θ. καὶ **-dum**, i, οὐ. 1) ἡ νάρδος, ὄνομα πολλῶν εὐωδῶν φυτῶν· 2) τὸ ἐκ τῆς νάρδου ἔλαιον.

nāris, is, θ. 1) ἐν τῷ ἐν. μυκτήρ, ῥώθων· 2) ἐν τῷ πλ. (π. καὶ ἐν τῷ ἑνικῷ, οἱ μυκτῆρες, οἱ ῥώθωνες, αἱ ῥῖνες· -ibus uior, μυκτηρίζω· ἐντ. μετφ. homo emunctae naris, ἄνθρ. ἀστεῖος (ἀντίθ. obesae naris κορυζῶν)· acritae -es = ἄνθρωπος ἀγχίνους.

Narisci, ōrum, ἀ. Ναρισταί (Πτολ. Οὐαριστοί), ἔθνος Σουηβικόν.

nārīta, ae, ἀ. νηρίτης (ὄστρεον)·

Narnĭa, ae, θ. Ναρνία, πόλις Ὀμβρικῆς· ἐντ. **-niensis**, e, τῆς Ναρνίας καὶ οὐσ. **-nienses**, ium, ἀ. πλ. οἱ Ναρνιᾶται.

narrābilis, e, (π.), λεκτός, διηγητός.

narrātĭo, ōnis, θ. διήγησις, διήγημα.

narrātĭuncŭla, ae, θ. διηγημάτιον

narrātor, ōris, ἀ. ὁ διηγούμενος.

narrātus, us, ἀ. = narratio.

narro, ā'. 1) ἀφηγοῦμαι, διηγοῦμαι, λόγῳ διεξέρχομαι, δηλῶ, ἀγγέλλω τι· 2) λέγω· quid narras, τί λέγεις; is narratur hoc fecisse, οὗτος ἐλέγετο (ἐθρυλλεῖτο) ποιῆσαι τοῦτο.

narthēcium, ii, οὐ. ναρθήκιον, πυξίς, θήκη (κυρ. ἐκ νάρθηκος πεποιημένη).

narus, ἰδὲ gnarus.

Nāryx, ўcis, θ. Νάρυξ, Νάρυκος, πόλις τῶν Ὀζολῶν Λοκρῶν, ἐξ ἧς Αἴας ὁ Ὀϊλέως καὶ ἡ ἐν Βρεττίῳ πόλις Λοκροί· Ἐντ. **Nāryсĭus**, a, um, Ναρύκιος, Λοκρικός· -heros, Αἴας ὁ Ὀϊλέως. **Narycia** (δηλ. urbs), Ναρυκία, ἡ ἐν Βρεττίῳ πόλις Λοκροί.

Năsămōnes, um, αἰτ. as, ἀ. πλ. Νασαμῶνες, ἔθνος τῆς Λιβύης· ἐντ. **-niăcus**, a, um, Νασαμωνιακός, Λιβυκός.

nascor, nātus sum (μέλ. μτχ. nasciturus), ἀποθ. γ'. 1) γεννῶμαι, φύομαι, γίγνομαι, patre praeclaro ἐκ πατρὸς μάλα ἐνδόξου, servā ἐκ δούλης, ἀλλὰ καὶ ex fratre et sorore ἐξ ἀδελφοῦ καὶ ἀδελφῆς· (π.) - de pellice, ab aliquo, γεννῶμαι ἐκ παλλακίδος, ἀπό τινος· 2) ἐπὶ ἀψύχων· γίγνομαι, φύομαι, εὑρίσκομαι: violae -untur; plumbum ibi -ĭtur; 3) γίγνομαι, φύομαι (ἐκ τινος), ἀρχὴν λαμβάνω, ἀνατέλλω, amnis, ventus; luna - ĭtur, ἀνατέλλει, ἐπιτέλλει, collis - ĭtur, αἴρεται, ἀνέχει· 4) ἡ μετχ. **nātus**, a, um· α) πεφυκώς πρός τι, οἰκείως ἔχων πρός τι, ἱκανὸς εἴς τι, ad rem ἢ rei alicui· π.) καὶ in rem καὶ (π.) ἀπαρεμφ. β) πέφυκε, φύσει ἐστίν: locus ita n. est· ἐντ. pro (σπ. καὶ e) re nata, ὡς πέφυκε τὰ πράγματα, ἐκ τῶν ἐνόντων, ἐκ τῶν παρόντων· 6) μετ' αἰτ. χρον. = γεγονώς: homo annos nonaginta natus ἄνθρωπος ἐννενήκοντα ἔτη γεγονώς, ἢ ἄνθρ. ἐνενηκοντούτης· ἐσθ' ὅτε προστίθ. τὸ major ἢ minor μετὰ τοῦ quam ἢ ἄνευ τοῦ quam, ἰδὲ magnus· γ) οὐσ. ἀ. = ὁ υἱός· θηλ. = ἡ θυγάτηρ· ἐν τῷ πληθ. = τὰ τέκνα.

Nasīca, ae, ἀ. (nasus, ἴσως = ὀξύρρις), Νασικᾶς, ἐπωνυμία τῶν Σκηπιώνων

Năsĭdiēnus, i, ἀ. Νασιδιηνός, ὁ ἐξ ἰδιώτου μέγας γενόμενος.

Năsĭdĭus, i, ἀ. Ναιδιος, ἱππότης· ἐντ. **-diānus**, a, um, τοῦ Ναιδίου, naves νῆες.

năsŭterna, ae, θ. (nasus, terni), πρόχους, προχύτης τρισχεδὲς στόμιον ἔχων.

Năso, ōnis, ἀ. (nasus, κυρ. μεγαλόρρινος), Νάσων, ἰδὲ Ovidius.

Năsos, i, θ. Νᾶσος, Νῆσος, προάστειον τῶν Συρακουσῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

nassa, ἡ **naxa**, ae, θ. κύρτος (κόφινος ἁλιευτικός)· μετφ. = βρόχος, κινδυνώδης θέσις.

nasturtĭum, ii, οὐ. κάρδαμον.

nāsus, i, ἀ. ἡ ῥίς· 2) μετφ. (Ὁράτ.) α) ῥίς, ὄσφρησις· β) μυκτήρ, μυκτηρισμός.

nasūte, ἐπίρ. μετὰ μυκτηρισμοῦ.

nāsūtus, a, um, (nasus)· 1) μεγαλόρινος· 2) μετφ. α) = ἀγχίνους· β) μυκτηρίζων, σκωπτικός.

nātālīcĭus, a, um (natalis)· 1) γενεθλιακός, γενέθλιος, dapes, sidera; -praedicta, γενεθλιαλογία· 2) οὐσ. **natalicia**, ae, θ. (ὑπον. scena), γενεακὸν δεῖπνον.

nātālis, e (nascor)· 1) γενέθλιος, dies, ἡμέρα· (π.) humus, solum n. ἡ πατρίς· 2) οὐσ. Α) ἐν. **-lis**, is, ἀ. α) ὑπον. dies, γενέθλιος ἡμέρα, τὰ γενέθλια· β) ὑπον. deus, ὁ γενέθλιος δαίμων· γ) ὑπον. locus, ἡ πατρίς· Β) **-les**, ium, ἀ. α) γένος, γενεά: clari -les, περιφανὲς γένος· β) **-lium** peritus, γενεθλιαλόγος.

nātātĭo, ōnis, θ. νῆξις, κολύμβησις.

nātātor, ōris, ἀ. νήκτης, ὁ νηχόμενος, ὁ κολυμβητής.

nātĭo, ōnis, θ. (nascor)· 1) γέννησις· ἐντ. (προσωπόπ.) ἡ τῆς γενέσεως θεά· 2) τὸ γένος, ἡ φυλή, τὸ εἶδος· 3) τὸ γένος, ἡ τάξις, ἡ ἑταιρία· 4) γένος, φῦλον, ἔθνος, λαός.

nātis, is, θ. γλουτός, συνήθ. ἐν τῷ πληθ. = γλουτοί, πυγαί (κωλομέρια).

nātīvus, a, um· 1) γεννητός· μετφ. verba -a, πρωτότυποι λέξεις· 2) ἔμφυτος, lepos χάρις· 3) αὐτοφυής, φυσικός (οὐ τεχνητός), speccus, color.

năto, ā΄. (no)· 1) νήχομαι, piscis -at. ἐντ. (π.) μεταθ. ἐννήχομαί τινι, διανήχομαί τι, aquas τὸ ὕδωρ· unda natatur piscibus, ἰχθύες ἐννήχονται τοῖς κύμασιν· ἡ μετχ. οὐσ. natantes ium (π.) = οἱ ἰχθύες· 2) κυμαίνω, κυματοῦμαι, κινοῦμαι, ῥέω, ἐκχέομαι, ἐκτείνομαι, fluvius, folia, seges, vestis m: ἐντ. campi natantes, αἱ θάλασσαι· 3) μετφ. α) νήχομαι, ῥέω τινί = πλήρης, ἀνάπλεως εἰμί τινος: -avant pavimenta vino, τὸ ἔδαφος οἴνῳ ἔρρει (πλῆρες οἴνου ἦν)· β) ἐπὶ μεθυόντων καὶ ἀποθνησκόντων, = ἀβέβαιος, ἀμφίλυς εἰμι· 3) ἐπὶ ποδὸς ἐν λίαν μεγάλοις ὑποθήμασιν· ἀστατῶ, πλέω· ἐντ. μετφ. = ἀστατῶ, ἀβέβαιός εἰμι, ἐνδοιάζομαι.

natrix, īcis, θ. ἡ ὕδρα· μετφ. (Σουητ.) = ἐπικίνδυνος ἄνθρωπος, ὄφις.

nātūra, ae, θ. (nascor)· 1) (ἀρχ.) φύσις = γέννησις: -ā pater, ὁ φύσει, γόνῳ πατήρ: -ā filius, ὁ κατὰ φύσιν υἱός· 2) φύσις = ἡ φυσικὴ ἰδιότης, animae τῆς ψυχῆς, montis τοῦ ὄρους, bona n. = σῶμα εὐπαγές· 3) φύσις = θυμός, χαρακτήρ, τρόπος· 4) φύσις = φυσικὴ πορεία, φυσικὸς νόμος: est in rerum -ā ἢ cadit in rerum -am = φύσιν ἔχει (μετ' ἀπαρεμφ.) = ἐνδέχεται, δυνατόν ἐστιν· satis facio, cedo, concedo -ae = ἀποθνήσκω· 5) φύσις = κόσμος (ὡς ἐπὶ τὸ πολὺ λέγεται m. rerum ἢ τῶν ὄντων φύσις)· 6) φύσις = οὐσία, ὄν: duae -ae= γῆ καὶ ὕδωρ.

nātūrālis, e, (natura)· 1) φυσικός, filius υἱὸς (ἀντίθ. adoptivus)· 2) φυσικός, αὐτοφυής, moles ὄγκος· 3) φυσικός (ὁ μὴ ἐκ τῆς παιδείας κ.λ. μεταβληθείς), societas, notio, mors· 4) -āle, οὐσ. οὐ. = φυσικὸν δῶρον· 5) -āles questiones, αἱ περὶ φύσεως διατριβαί.

nātūrāliter, ἐπίρ. (naturālis), φυσικῶς, φύσει, κατὰ φύσιν.

1. nātus, us, ἀ. (nascor), εὔχρ. μόνον ἐν τῇ ἐν. ἀφαιρ. **natu**, (=γενεῇ, Ὅμ.), τῇ ἡλικίᾳ, τὴν ἡλικίαν: magnus grandis natu, προβεβηκώς, πρεσβύτης· major natu, πρεσβύτερος· minimus natu, νεώτατος.

2. nātus, a, um, ἰδὲ nascor 4.

nauclērĭcus ἢ **-rĭus**, a, um, ναυκληρικός, ναυκλήριος, Πλ.

naucum, i, οὐ. εὔχρ. μόνον κατὰ τὴν γεν. τοῦ ἐν. **nauci**, μετ' ἀρνήσ. καὶ μετὰ τῶν ῥημ. facio, abeo = περὶ ὀλίγου ποιοῦμαι, ἐν οὐδενὶ λόγῳ τίθεμαι.

naufrăgĭum, ii, οὐ. (navis, frango), 1) ναυαγία. -facio, ναυαγῶ· ἐντ. μετφ. = φθορά, ἀπώλεια, patrimonii τῆς πατρῴας οὐσίας· 2) τὸ ναυάγιον, τὰ ναυάγια, μάλ. μετφ. n. reipublicae.

naufrăgus, a, um (navis frango)· 1) ναυαγός, homo· οὐσ. ὁ ναυαγός. ἐντ. μετφ. = ναυαγός, ἀπολωλώς, μεγάλην συμφορὰν παθών, homo· -patrimonio, ὁ τὴν πατρῴαν οὐσίαν ἀποβαλών· 2) (π.) ἐπὶ θαλάσ. = ναυαγίαν ἐπιφέρων, ναυφθόρος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

naulĭa ἡ, **nablĭa**, ōrum, οὐ. πλ. (π.) ἡ ναῦλα ἢ νάβλα, ἄγνωστον ἐντατόν μουσικόν ὄργανον.

naulum, i, οὐ. (μ.) ναῦλον.

naumăchĭa, ae, θ ναυμαχία, ἧ γάριν θέας ἐπετελεῖτο· ἐντ. καὶ ὁ ἐν ᾧ αὕτη ἐγίγνετο τόπος (ὃς ὡς ἐπὶ τὸ πολὺ ἦν ὀξαμενή).

naumăchiārĭus, a, um, τῆς ναυμαχίας· οὐσ. **-rĭus**, ii, ἀ. ὁ ἀγωνιζόμενος ἐν τῇ πρὸς θέαν γιγνομένῃ ναυμαχίᾳ.

Naupāctus, i, θ. Ναύπακτος· ἐντ. **-tōus**, a, um, Ναυπάκτιος.

Nauplĭus, ii, ἀ. Ναύπλιος, πατὴρ τοῦ Παλαμήδους· ἐντ. **Naupliădes**, ae, ἀ. Ναυπλιάδης = ὁ Παλαμήδης.

nausĕa, ae, θ. (navis)· 1) ναυσία, ναυτία· 2) ἔμεσις, ἔμετος.

nauseābundus, a, um, ναυτιῶν.

nauseo, ā. (nausea)· 1) ναυσιῶ, ναυτιῶ· 2) ἐμῶ· 3) μετφ. (π.) ἀσῶμαι, σικχαίνομαι.

nauseŏla, ae, θ. μικρά τις ναυτία.

nausĕōsus, a, um, ἐμετοποιός.

Nausĭcăa, ae, θ. Ναυσικάα.

nauta, ae, ἀ. (ἐκ τοῦ navita)· 1) ναύτης, ναυβάτης· 2) (Ὁράτ. ὠδ. 1, 1, 14) = mercator, ἔμπορος.

nautĕa, ae, θ. ἄντλος (κ. σεντίνα).

nautĭcus, a, um, ναυτικός· **-um verbum**, ναυτικὴ λέξις· **-clamor** βοὴ τῶν ναυτῶν· **res -ae**, τὰ ναυτικά· οὐσ. ἀ. πλ. = οἱ ναυτικοί, οἱ ναῦται.

nāvālis, e, 1) νήϊος, ναυπηγήσιμος, **materia** ξυλεία· 2) νήϊος, ναυτικός· **bellum -e**, ὁ κατὰ θάλασσαν πόλεμος· **castra -ia**, ὁ ναύσταθμος· **socii -es**, συνηθ. = οἱ ναῦται, οἱ κωπηλάται, ἀλλὰ καὶ = οἱ ναυτικοὶ στρατιῶται, οἱ ἐπιβάται· 3) οὐσ. ἐν τῷ πληθ. (π. καὶ ἐν τῷ ἑν.) **navalia**, ium, οὐ. πλ. α) τὰ ναυπήγια, νεώρια, οἱ νεώσοικοι· β) (π.) ὁ λιμήν· γ) ὁπλίσματα νεώς.

nāvārchus, i, ἀ. ναύαρχος.

nāvĭcŭla, ae, θ. πλοιάριον.

nāvĭcŭlārĭus, a, um, ναυκληρικός· ἐντ. οὐσ. α) **-rĭa**, ae, θ. (res), ἡ ναυκληρία: **-am facio**, ναυκληρῶ· β) **-rĭus**, ii ἀ. (homo), ὁ ναύκληρος.

nāvĭfrăgus, a, um, ναυαγίαν ἐπιφέρων, ναυφθόρος.

nāvĭgābĭlis, e, πλωτός, **amnis** ποταμός.

nāvĭgātĭo, ōnis, θ. (navigo) πλοῦς· **-diei**, ἡμερήσιος πλοῦς· **bona n.** πλοῦς οὔριος, εὔπλοια· **patiens -ōnis**, πλωτὸς, ναυσίπορος.

nāvĭgātor, ōris, ἀ. (μ.), ναύτης.

nāvĭger, ĕra, ĕrum, (π.), πλώϊμος, πλωτός.

nāvĭgĭŏlum, i, οὐ πλοιάριον.

nāvĭgĭum, ii, οὐ. (navis)· 1) πλοῖον· 2) (Λουκρ.) πλοῦς.

nāvĭgo, ā. (navis, ago)· 1) ἀμετ. πλέω, **in Asiam** εἰς Ἀσίαν· **-e portu**, ἐκπλέω τοῦ λιμένος, ἀνάγομαι· παροιμ. **-in portu = ἀσφαλῆς εἰμι**· ἀπρόσ. **navigātur** = πλέουσιν. ἐντ. (π.) = νήχομαι· 2) μετβ. α) πλέω τι ἢ διά τινος, ἱστιοδρομῶ διά τινος· β) **quae homines -ant**, ὁ πλοῦς τῶν ἀνθρώπων.

nāvis, is, θ. 1) ναῦς, **-longa**, ἡ μακρὰ ναῦς, ἡ τριήρης· **-oneraria**, ἡ φορτηγὸς ναῦς, ἡ ὁλκάς· **-tecta (constrata)**, ναῦς κατάστρωμα ἔχουσα (ἀντιθ. **aperta**)· **-em orno (adorno** κ.τ.λ.), ἐξοπλίζω, ἐξαρτύω ναῦν· **deduco -em**, καθέλκω ναῦν (ἀντιθ.) **subduco -em**, ἀνέλκω ναῦν· **-em solvo**, ἀποπλέω· **-solvit**, ἡ ναῦς ἐκπλεῖ· **-em apello (applico) ad terram** ἢ **terrā**, προσορμίζω τὴν ναῦν· **vehor nave** ἢ **in nave**, πλέω· 2) **navis Argolica** ἢ ἁπλ. **navis**, ἡ Ἀργὼ (ἄστρον)· 3) μετφ. (ἐπὶ πόλεως) = ἡ τύχη, μοῖρα, Κικέρ.

nāvīta, ae, ἀ. (π. καὶ μ.) = nauta.

nāvītas, ātis, θ. ἐνέργεια, ὁραστηριότης, ἐπιμέλεια, προθυμία.

nāvĭter, ἐπίρ. 1) ἐνεργῶς, ὁραστικῶς, ἐπιμελῶς, προθύμως· 2) ὅλως, ἐντελῶς.

nāvus (καὶ **gnavus**), a, um, ἐνεργός, ὁραστήριος, ἐπιμελής, πρόθυμος, φιλόπονος.

Naxus, i, θ. Νάξος, νῆσος· ἐντ. **Naxĭus**, a, um, Νάξιος.

1. nē, ἰδὲ nae.

2. nĕ, ἐρωτηματ. μόριον προσαρτώμενον ἐν τέλει τῆς λέξεως δι' ἧς γίγνεται ἡ ἐρώτησις· 1) ἢ (κοιν. ἔ): **putasne?** ἢ οἴει; (= νομίζεις ἔ;), **erasne in schola?** ἦσθα ἐν τῇ σχολῇ; 2) = nonne, ἆρ' οὔ: **videsne?** ἆρ' οὐχ ὁρᾷς; 3) ἐν τῇ διαζευτικῇ ἐρωτήσει· ἢ: **rerum verborumne?** τῶν ἔργων ἢ τῶν λόγων; 4) εἰ (= ἄν): **quaero, rectene memi-**

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

nerim, ἐρωτῶ, εἰ ὀρθῶς μέμνημαι: ne... an = εἰ... ἤ (πότερον... ἤ).

3. nē, ἐπίρ. καὶ σύνδ. 1) μή, ὅπως μή, ἵνα μή, ὡς μή: ne dicas, μὴ εἴπῃς· ne id Jupiter sineret, μὴ τοῦτο Ζεὺς τελέσειεν· ne multis, ἵνα μὴ μακρολογῶ· ἐντ. α) metuo ne fiat, δέδοικα μὴ γένηται (τὸ δὲ ἀντίθ. metuo ut fiat, δέδοικα μὴ οὐ γένηται)· 2) ne non = μὴ οὐ· 3) ne sit = οὐκ ἂν εἴη (δεδόσθω ὅτι οὐκ ἐστίν)· 2) (σπ.) = ne quidem, οὐδέ, μηδέ: 4) (σπ.) = nedum, μὴ ὅτι· ne nunc senem, μὴ ὅτι (πολλῷ δὲ μᾶλ.) νῦν γέροντα.

Neaera, ae, θ. Νέαιρα, ἑταίρα.

Neāpŏlis, is, θ. Νεάπολις, 1) τὸ τέταρτον τμῆμα τῶν Συρακουσῶν· 2) πόλις τῆς Καμπανίας· ἐντ. **-tānus**, a, um, τῆς Νεαπόλεως· οὐσ. **-tāni** ōrum ἀ. πλ. οἱ Νεαπολῖται.

nĕbŭla, ae, θ. 1) νεφέλη, ὁμίχλη, ἀτμός, νέφος· 2) καπνός· 3) μετφ. σκοτεινός καὶ ἀκατάληπτος.

nĕbŭlo, ōnis, ἀ. ὁ οὐδενὸς ἄξιος, ὁ οὐτιδανός, ἀγύρτης.

nĕbŭlōsus, a, nm, (nebula)· 1) νεφελώδης, ὁμιχλώδης· 2) μεταφ. σκοτεινός.

nĕc καὶ **nĕque**· 1) ἐπίρ. = non, οὐ: (εὔχρ. ὡς ἐπὶ τὸ πολὺ ἐν συνθέσει, necne, necopinatus): n. recte, οὐκ ὀρθῶς· 2) σύνδ. Α) ἁπλοῦς = et non, καὶ οὔ: nuntii tristes nec varii, ἀγγελίαι λυπηραὶ καὶ οὐ ποικίλαι· μάλ. α) ἡνωμ. τοῖς enim, vero, tamen, οὔτε γάρ, οὐδὲ γάρ, ἀλλ' οὐδέ, οὐδ' ὅμως· β) neque... non = et: neque tu hoc non intelligis, καὶ σὺ τοῦτο οὐ κατανοεῖς· γ) (σπ.) = neve, καὶ μή· δ) = ne quidem, οὐδέ· ε) nec non, πρός δ' ἔτι, πρὸς τούτοις δέ· ϛ) nec non et, nec non etiam, πρὸς δ' ἔτι καί, ὡσαύτως δὲ καί· Β) διπλοῦς, α) nec... nec, (ἐν δυσὶν ἀρνητ. προτάσ.) = οὔτε... οὔτε· β) neque... et (σπ. que) οὔτε ... τε, τὰ μὲν οὔ ... τὰ δέ· γ) et ... neque, καὶ ... καὶ οὔ: via et certa neque longa, ὁδὸς καὶ ἀσφαλὴς καὶ οὐ μακρά· δ) ἐνίοτε εὕρ. neque ...neque...aut.

nec-dum, (neque-dum), ἐπίρ. (καὶ διηρημ. γραφόμενον)· 1) οὔτε πω, καὶ οὔπω· 2) οὐδέπω.

nĕcessārĭe, ἐπίρ. (σπ.) = necessario.

nĕcessārĭo, ἐπίρ. (necessarius), ἀναγκαίως, ἐξ ἀνάγκης.

nĕcessārĭus, a, um, (necesse) 1) ἀναγκαῖος: quae ad vitam -ia sunt, τὰ πρὸς τὸν βίον ἀναγκαῖα, τὰ ἐπιτηδεια· ἐντ. α) ἀναγκαῖος, ἀνέκφευκτος, mors· β) ἀναγκαῖος, ἀναγκάζων, causa 2) μετφ. ἀναγκαῖος, προσήκων, στενῶς συνδεδεμένος (συγγενείᾳ, φιλίᾳ, πελατείᾳ), ἐντ. οὐσ. συγγενής, ἐπιτήδειος, φίλος, πελάτης, πάτρων.

nĕcĕsse καὶ (ὡς τὰ πολλὰ ἀρχ.) **necessum**, ἐπίθ. (οὗ εὔχρ. μόνον ἡ ἐνικ. ὀνομ. καὶ αἰτ. τοῦ οὐδ), ἀναγκαῖον, ἀνάγκη: homini n. est mori, τῷ ἀνθρώπῳ ἀναγκαῖόν ἐστιν ἀποθανεῖν· n. est haec oratio nulla sit τὸν λόγον τοῦτον μηδένα εἶναι ἀνάγκη ἐστιν· id quod n. est, ὅπερ ἀναγκαῖόν ἐστιν· non n. habeo scribere, οὐκ ἀναγκαῖον ἐστί μοι γράφειν.

nĕcessĭtas, ātis, θ. (necesse)· 1) ἀνάγκη, ἀνάγκης δύναμις: pareo -ti, πείθομαι τῇ ἀνάγκῃ· ex -āte facio aliquid, ἐξ ἀνάγκης ποιῶ τι· ultima (extrema) n. = ὁ θάνατος· 2) μετφ. ἀνάγκη, ἀναγκαιότης, ἐπιτηδειότης, φιλία· ἐντ. = ἡ συγγένεια· 3) ἐν τῷ πληθ. = ἀνάγκαι, χρεῖαι· 4) (μ.) ἀνάγκης δεινά, στέρησις· 5) (σπ.) = necessitudo 2.

nĕcessĭtūdo, ĭnis, θ. (necesse)· 1) = necessitas, 1 καὶ 3· 2) συνήθ. ἀνάγκη, ἀναγκαιότης, ἐπιτηδειότης, ἦτοι φιλία, οἰκειότης, συναρχοντία, πελατεία, ξενία, σχέσεις· ἐντ. (μ.) μετων. ἐν τῷ πληθ. = οἱ ἀναγκαῖοι, οἱ προσήκοντες, οἱ συγγενεῖς, οἱ φίλοι.

neclĕgo, ἴδε negligo.

nec-ne, ἐπίρ., ἢ οὔ· 1) ἐπὶ πλαγίας ἐρωτ. α) utrum... necne, πότερον... ἢ οὔ· β) ne... necne: sintne dei n. εἰσὶν θεοὶ ἢ οὔ; 2) (σπ.) ἐπὶ εὐθείας ἐρωτήσ. sunt haec tua verba necne?

nec-non (neque non), ἴδε nec.

nĕco, ā'. φονεύω, ἀποκτείνω, διαφθείρω τινά (φαρμάκῳ, ἀγχόνῃ, πείνῃ, πυρί, μαστιγώσει, κεραυνῷ, σπαν. δι' ξίφει· πρβλ. interficio, jugulo, trucido)· μετφ. = διαφθείρω, καταπαύω.

nĕc-ŏpīnans, ntis, ἐπίθ. ἀπροσδόκητος, οὐ προσδοκῶν

nĕc-ŏpīnāto, ἐπίρ. ἀπροσδοκήτως.

nĕc-ŏpīnātus, a, um, ἀπροσδόκητος, οὐ προσδοκώμενος, adventus, bunum; ex necopinato, ἐπιρημ. = ἀπροσδοκήτως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

nĕc-opīnus, a, um (π.)· 1)= necopinatus· 2) = necopinans.

nectar, ăris, οὐ. νέκταρ· α) θεῖον ποτόν· β) θεῖον μύρον ('Οβίδ.)· γ) μετφ. (π.) πρὸς δῆλωσιν τοῦ γλυκέος καὶ εὐαρέστου· γάλα, μέλι, εὐοσμία.

nectărĕus, a, um (π.) νεκτάρεος· ἐντ. (π.)· α) = θεῖος : aquae -ae = δρύσος· β) = γλυκύς, ἡδύς.

necto, nexŭi καὶ nexi, nexum, γ'. 1) πλέκω, retia δίκτυα, coronas στεφάνους· -catenas, συνδέω ἁλύσεις· (π.) -brachia, περιπλέκω τοὺς βραχίονας· ἐντ. περιδέω, ἀναδέω, comam myrto. 2) μετφ. α) συνδέω, συνάπτω τινί, ἐξαρτῶ ἔκ τινος· β) πλέκω, μηχανῶμαι, dolum· γ) -moram, ἀείποτε ἀναβάλλομαί τι· δ) δέω: sacramento nexus, ὅρκῳ δεθείς· ε) τεχν. ὅρ. τὸν ὀφειλέτην ἐπί τινα χρόνον ὑποχείριον ποιῶ τῷ δανειστῇ, τόκε nexum. Ἐντ. **nexi**, ōrum, ἀ. πλ = οἱ ὑποχείριοι τῷ δανειστῇ ὀφειλέται, οἱ ἀναγκαζόμενοι ὀφειλέται δουλεύειν τοῖς δανεισταῖς ἕως ἂν τὸ χρέος ἀποδῶσιν.

nēcŭbi, ἐπίρ. (ne,alicubi), μή που, ἵνα μή που, ὅπως μή που.

nēcunde, ἐπίρ. (ne,alicunde) (Λίβ.), μήποθεν, ὅπως μήποθεν.

nēdum, σύνδ. μὴ ὅτι, μή τι, μή τι γε (= πολλῷ δὲ ἧττον, πολλῷ δὲ μᾶλλον): satrapes non potest, n. tu possis, ὁ σατράπης οὐ δύναται, μὴ ὅτι σὺ δύνασαι· adulationes etiam victis graves, n. victoribus, αἱ κολακεῖαι καὶ τοῖς ἡττημένοις ἐπαχθεῖς εἰσι, μὴ ὅτι τοῖς νικηταῖς· 3) (ἀμφίβ.) = non modo, οὐ μόνον (ἐπομ. τοῦ sed etiam).

nĕ-fandus, a, um (ὡς τὸ πολὺ π. καὶ μ.), κυρ.= ἄρρητος. ἐντ. = οὐ θεμιτός, ἀνόσιος, ἀσεβής, μιαρός· οὐδ. οὐσ. = τὸ πονηρόν, τὸ κακούργημα.

nĕfārie, ἐπίρ. ἀνοσίως, ἀσεβῶς.

nĕfārius, a, um, ἄρρητος, ἀθέμιτος, ἀνόσιος, ἀσεβής, μιαρός.

nĕfās, οὐ. (εὔχρ. μόνον ἐν τῇ ὀνομ. καὶ αἰτ. τοῦ ἑνικοῦ)· 1) τὸ ὑπὸ τῶν θεῶν ἀπαγορευόμενον, τὸ ἀνόσιον, ἀθέμιτον (ἀντίθ. fas θεμιτόν): n. est dictu, οὐ θέμις εἰπεῖν· πολλάκ. τίθεται ὡς ἐπιφών. ἢ παρένθ. = φῦ! φεῦ! 2) μετφ. (π.) = ἀνόσιος, μιαρὸς ἄνθρωπος.

nĕ-fastus, a, um, 1) dies -i, αἱ ἀποφράδες, αἱ μὴ δικάσιμοι ἡμέραι· 2) (π. καὶ μ.) = nefarius· 3) (π. καὶ μ.) ἀποτρόπαιος, ἀπαίσιος, δυσαιώνιστος, ὀλέθριος.

nĕgantĭa, ae, θ. (nego) = negatio.

nĕgātĭo, ōnis, θ. (nego), ἄρνησις.

nĕgĭto, ā'. (nego) (σπ.) ἀρνοῦμαι.

neglectĭo, ōnis, θ. (negligo), ἀμέλησις, ὀλιγώρησις ἀδιαφορία.

1. neglectus, a, um (μετχ. τοῦ negligo) ἠμελημένος, οὐκ ἐν τιμῇ ὤν.

2. neglectus, ūs, ἀ. = neglectio.

neglĭgens, ntis (-ior -issimus)· [μετχ. τοῦ negligo], ἀμελής, ὀλίγωρος, ἀδιάφορος, homo; -in amicis elegentis, ἀλιγώρως ἔχων περὶ τὴν ἐκλογὴν τῶν φίλων· -legum, officii, ὀλιγωρῶν τῶν νόμων, τοῦ καθήκοντος· μάλ. = δαπανηρός (ἀντίθ. parcus).

neglĭgenter, ἐπίρ. (-ius,-issime), ἀμελῶς, ὀλιγώρως, ῥᾳθύμως.

neglĭgentĭa, ae, θ. (negligens), ἀμέλεια, ὀλιγωρία, ἀδιαφορία, ἀφροντιστία, ῥᾳθυμία, ὄκνος.

neglĭgo (καὶ **neglĕgo, necllĕgo**), ēxi, ectum, γ'. (nec,lego), δθ. κυρ. = οὐκ ἐκλέγω, ἀντίθ. diligo)· 1) ἀμελῶ, ὀλιγωρῶ, aliquid facere ποιεῖν τι, mandatum τοῦ προσταχθέντος, (σπ.) de aliquo ἀμελῶ τινός. ἐντ. α) (π.) -committere facinus = παρ' οὐδὲν ἡγοῦμαι ἀνόσιόν τι πράττειν· 2) συχν. μετ' αἰτιατ. = ὀλιγώρως, ἀδιαφόρως θεωρῶ τι, οὐ τιμωροῦμαί τι, injurias τὰς ἀδικίας· καὶ μέτ' αἰτ. καὶ ἀπαρεμφ. = ἀφροντιστῶ, ἀδιαφορῶ, ἐῶ, Gallias vastari τὰς Γαλλίας δηωμένας· 2) ἀμελῶ, παραμελῶ, καταφρονῶ τινος, leges τῶν νόμων, deos τῶν θεῶν.

nĕgo, ā'. (nec)· 1) ἀμετ. ἀποφάσκω, ἀρνοῦμαι: vel ajas, vel neges· 2) μεταδ. α) ἀρνοῦμαί τι, crimen (ἀντίθ. dico, confiteor)· β) αἰτ. καὶ ἀπαρέμφ., οὗ φημι, λέγω ὅτι οὐ: n. quicquam esse bonum· γ) ἐν τῷ παθητ., negor ἐπομένου ὀνόμ. ἢ ἀπαρεμφ. =, οὗ φασιν, λέγουσιν ὅτι ἐγώ (σύ, αὐτός) οὐ: casta (ὑπον. esse) negor = λέγουσιν ὅτι οὐκ ἁγνή εἰμι· vis facta (esse) negabitur, ἐρεῖ ὅτι βία οὐκ ἐγένετο· γ) ἀπαρνοῦμαι, ἀρνοῦμαί τινί τι, auxilium Vejentibus· δ) (π.) n. (me) comitem, οὐ βούλομαι ἀκολουθήσειν· n. me vinculis, ἀποβάλλω τὰ δεσμά· regio -at

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

poma, ἡ χώρα οὐ παράγει μῆλα· n. domibus (π.), στεροῦμαι οἰκιῶν.

nĕgōtĭālis, e, (σπ.), πραγματικός, πρακτικός, pars (ἀντίθ. judicialis).

nĕgōtĭātĭo, ōnis, θ. ἐμπορία, μάλ. τραπεζιτική ἐργασία.

nĕgōtĭātor, ōris, ἀ. μεγαλέμπορος, ἔμπορος, μάλ. τραπεζίτης.

nĕgōtĭor, ἀποθ.α'. (negotium), ἐμπορεύομαι, μετέρχομαι τὸν μεγαλέμπορον ἢ τραπεζίτην· ἢ μετχ. **negotians**, ntis, οὐσ. ἀ. μεγαλέμπορος, τραπεζίτης.

nĕgōtĭōsus, a, um, (-ior, -issimus), πολυπράγμων, φιλοπράγμων, πραγματικός, πρακτικός, δραστικός, ἄσχολος· ilies -i, ἐργάσιμοι ἡμέραι (ἀντίθ. sacri)· ἐντ. provincia -a, ἐπαρχία πράγματα παρέχουσα.

nĕgōtĭum, ii, οὐ. (nec, otium)· 1) ἀ σ χ ο λ ί α, πρᾶγμα, ἔργον, sum in n. (ἀντίθ. in otio), πολλὴν ἀσχολίαν ἔχω· μάλ. α) τὰ τῆς πόλεως, τὰ πολιτικά· β) ἐμπορία (ἰδὲ negotiator)· γ) (μ.) οἰκη· δ) ὁ οἶκος, τὰ οἰκεῖα: -male gero. τὰ περὶ τὸν οἶκον κακῶς διοικῶ· 2) πρᾶγμα, ἔργον ἐργῶδες, δυσχερές, χαλεπόν, οὐ ῥᾴδιον, ὀχληρὸν κ. τ. ὅμ.: nihil -ii est id facere, ῥᾴδιόν ἐστι τοῦτο ποιῆσαι· nullo -o καὶ sine -o, ῥᾳδίως, οὐ δυσχερῶς· ἐντ. α) = ὄχλος, πράγματα: facesso (exhibeo) alicui n. ὀχλον, πράγματα παρέχω τινί· β) πρᾶγμα, χρῆμα; quid -ii, τί τὸ πρᾶγμα; καὶ ἐπὶ ἀνθρ. inhumanum n. = ἀπάνθρωπός τις· γ) θέσις, κατάστασις: in atroci n., ἐν δεινῇ καταστάσει.

Nēlĕus, ĕi, ἀ. Νηλεύς, βασιλεὺς τῆς Πύλου, πατὴρ τοῦ Νέστορος· ἐντ. 1) **Nēlēĭus**, καὶ **-lēus**, a, um, Νηλήϊος· ὡς οὐσ. ἀ. = ὁ Νέστωρ· 2) **Nēlīdes**, ae, ἀ. Νηλείδης, ὁ Νέστωρ.

Nēmausum, i, οὐ. Νέμαυσος, πόλις Γαλλίας· **-senses**, ium, ἀ. πλ. οἱ Νεμάσιοι.

Nemĕa, ae, θ. Νεμέα· ἐντ. 1) **Nĕmeaeus**, a, um, Νεμεαῖος· 2) **Nĕmĕa**, ōrum, οὐ. πλ. τὰ Νέμεα, οἱ παρὰ τὴν Νεμέαν ἀγῶνες.

Nĕmĕsis, is καὶ idos, θ. Νέμεσις.

Nēmētes, tum, ἀ. πλ. Νέμητες, ἔθνος τῆς ἀρκτῴας Γαλλίας.

Nemetocenna, ae, θ. Νεμετοκίννη, μητρόπολις τῶν Ἀτρεβατῶν.

nēmo, γεν. nullius, δοτ. -ĭni, αἰτ. -ĭnem, ἀφ. συνήθ. nullo, (ἀντὶ nehemo, ὃ ἐκ τοῦ ne καὶ τοῦ ἀρχ. hemo = homo)· 1) οὐσ. οὐδείς: -amicorum, οὐδεὶς τῶν φίλων· non nemo, ἔνιοι· nemo non, οὐδεὶς ὅστις οὐ, οἱ πάντες· 2) ἐπίθ. = nullus, οὐδείς, μηδείς· -vir, οὐδεὶς ἀνήρ· -hostis, οὐδεὶς πολέμιος· καὶ -homo, οὐδεὶς ἄνθρωπος. — Σ η μ. Οὐδ. τοῦ nemo ἐστὶ τὸ nihil ἢ nulla res (=οὐδέν, μηδέν) γεν. nullius rei, δοτ. nulli rei, ἀφ. nulla re.

nĕmŏrālis, καὶ **nĕmŏrensis**, e, (π. καὶ μ.), τοῦ νέμους, τοῦ ἄλσους, ἐν νέμει, ἐν ἄλσει, μάλ. τῆς ἐν ἄλσει Ἀρτέμιδος (περὶ τὴν Ἀρικίαν)· οὐσ. in Nemorensi, ἐν τῇ χώρᾳ τοῦ δρυμοῦ τῆς Ἀρικίας.

nĕmŏrĭ-cultrix, icis, θ. (π.) ἡ ὑλάδιος, ἡ ἐν δρυμῷ οἰκοῦσα.

nĕmŏrĭ-văgus, a, um, (π.) ἐν δρυμῷ πλανώμενος, aper κάπρος.

nĕmŏrōsus, a, um, (nemus)· 1) ἀλσώδης, ὑλώδης, δρυμώδης, vallis· 2) δασύς, πυκνός, silva· 3) πυκνόφυλλος, cupressus κυπάρισσος.

mempe, ἐπίρ. (mam-pe ?), δή, δῆτα, δήπου, δῆλον ὅτι, δῆλα δή, μέντοι, οἶμαι, ὡς εἰκός, τῷ ὄντι, ἀληθῶς.

mĕmus, ŏris, οὐ. 1) τὸ νέμος, τὰ τέμπη· 2) (π.) α) δρυμός, δάσος· β) ὕλη, ξύλα· γ) ἄλσος, μάλ. τὸ περὶ τὴν Ἀρικίαν ἄλσος τῆς Ἀρτέμιδος.

nēnĭa, (**naenĭa**), ae, θ. 1) ν η ν ί α, ᾠδὴ ἡ ἐπιτάφιος· 2) (π.) πᾶσα ᾠδή, μάλ. α) θρηνῳδία, ἔλεγος, ὁ ἰάλεμος· β) ἡ ἐπῳδή, τὸ μαγικὸν ᾆσμα· γ) χυδαῖον ᾆσμα, ἐντ. = βαυκάλημα·

nēnu ἢ **noenu** καὶ **nēnum** ἢ **noenum**, ἐπίρ. ἀρχ. (ἀντὶ ne unum) = non.

neo, nēvi, nētum, 6'. 1) ν έ ω, νήθω, κλώθω τι· 2) (π.) = ὑφαίνω, tunicam χιτῶνα.

Nĕŏbūle, es, θ. Νεοβούλη, κόρη τις.

Neŏcles, is καὶ i, ἀ. Νεοκλῆς· 1) πατὴρ τοῦ Θεμιστοκλέους· ἐντ. **Neoclĭdes**, ae, ἀ. Νεοκλείδης = ὁ Θεμιστοκλῆς· 2) πατὴρ τοῦ Ἐπικούρου.

Neoptŏlĕmus, i, ἀ. Νεοπτόλεμος.

nĕpa, ae, θ. (λέξ. Λιβυκή)· 1) ὁ σκορπιός (τὸ ζῷον καὶ τὸ ἄστρον)· 2) ὁ καρκῖνος (τὸ ζῷον καὶ τὸ ἄστρον).

Nĕpĕte, es, θ. ἡ Νέπετα, πόλις τῆς Τυρρηνίας· ἐντ. **Nepesīnus**, a,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

um, Νεπεσῖνος· οὐσ. **-sīni**, ōrum, ἀ. Νεπεσῖνοι.

Nĕphĕle, es, θ. ἡ Νεφέλη, μήτηρ τοῦ Φρίξου καὶ τῆς Ἕλλης· ἐντ. **Nĕphĕlēis**, ĕīdis, θ. Νεφεληΐς, θυγάτηρ τῆς Νεφέλης.

1 nēpos, ōtis, ἀ. (πρβλ. τὸ τῶν Ἀλεξανδρ. νέποδες = τέκνα)· 1) ἔγγονος· - ex filia, θυγατριδοῦς· 2) (π.) ἐν τῷ πληθ. ἔκγονος· -es Remi, οἱ Ῥωμαῖοι· 3) (μ.) ὁ ἀδελφιδοῦς, υἱὸς τοῦ ἀδελφοῦ ἢ τῆς ἀδελφῆς· 4) (ἀρχ.) = neptis.

2. nēpos, ōtis, ἀ. Νέπως (Κορνήλιος), ὀνομαστὸς βιογράφος.

nēpōtātus, ūs, ἀ. ἀσωτεία, σπατάλη.

nēpōtīnus, a, um (ἀμφιθ.), ἄσωτος.

nēpōtor, ἀποθ. α'. (nepos **2.**) ἀσωτεύω, μετφ. κούφως ἀποβάλλω, līberlatem τὴν ἐλευθερίαν.

nēpōtŭlus, i, ἀ. μικρὸς ἔγγονος.

neptis, is, θ. (nepos **1.**), ἡ ἐγγονή.

Neptūnus, i, ἀ. ὁ Ποσειδῶν, θεὸς τῆς θαλάσσης, ἐντ. (π.) = ἡ θάλασσα· ἐντ. 1) **Neptūnīne**, es, θ. ἡ Ποσειδωνιάς, = ἡ Θέτις· 2) **Neptūnĭus**, a, um, Ποσειδώνιος: Troja N. ἡ ὑπὸ Ποσειδῶνος κτισθεῖσα Τροία· Heros N. = ὁ Θησεύς, N. dux = ὁ Σέξτιος Πομπήϊος.

nēquam, ἐπίθ. ἄκλ. (nequior, nequissimus), οὐτιδανός, οὐδενὸς ἄξιος, πονηρός, φαῦλος, μάλ. ἐπὶ νεανιῶν = ἀκόλαστος, ἄσωτος.

nē-quāquam, ἐπίρ. οὐδαμῶς, μηδαμῶς.

nĕque κτλ. ἴδε nec.

nĕ-quĕo, īvi καὶ ĭi, ĭtum, ĕ̄. οὐ δύναμαι, ἀδυνατῶ, ἀδύνατός εἰμι, aliquid facere ποιεῖν τι· - quin clamem, οὐ δύναμαι μὴ βοᾶν· συντασσόμ. μετὰ παθητ. ἀπαρεμφ. λέγεται καὶ nequītur = ἀδύνατόν ἐστιν.

nē-quicquam ἢ **nē-quidquam**, 1) (λίαν απ.) οὐσ. οὐδ. = nihil, οὐδέν· 2) ἐπίρ. μάτην, διακενῶς· non n. ausi sunt (Καῖσ.), οὐκ εἰκῇ ἐτόλμησαν.

nequĭter, ἐπίρ. (-ius, -issime), φαύλως, α) = κούφως· bellum n. susceptum· β) = ἀσώτως, ἀκολάστως, coenare, δειπνεῖν (ἀντίθ. frugaliter c).

nēquĭtĭa, ae, θ. (nequam), φαυλότης, ἦτοι· 1) ἐπὶ πράγ. πικρότης, aceti τοῦ ὄξους· 2) ἐπὶ προσ. α) χαυνότης, χαλαρότης, νωθρότης· β) ἐλαφρότης, κουφόνοια· γ) ἀσωτεία, ἀκολασία, ἀσέλγεια· δ) τὸ ἀγενές, ἡ ἀνελευθερία.

Nēreus, ĕos καὶ ĕi, αἰτ. ĕa, ἀ. Νηρεύς· ἐντ. 1) **Nērēis**, ĭdis, θ. Νηρηΐς· 2) **Nērēius**, a, um, Νηρήϊος: genetrix N. = ἡ Θέτις, nepos N. = Ἀχιλλεύς· 3) **Nērīne**, es, θ. (π.)=Nereïs.

Nĕrĭa, ae, θ. ἢ **Nĕrĭo**, ōnis, θ. (λ. Σαβινική), Ἰσχύς, σύζυγος τοῦ Ἄρεως.

Nērĭtos, i, θ. ὁ Νήριτος, τὸ Νήριτον, ὄρος τῆς Ἰθάκης· ἐντ. **Nērĭtĭus**, a, um, (π.) Νηρίτιος, καὶ (π.)=Ἰθακήσιος, τοῦ Ὀδυσσέως.

Nĕro, ōnis, ἀ. Νέρων· ἐντ. **Nĕrōnēus**, **-niānus**, καὶ **-nĭus**, a, um, τοῦ Νέρωνος.

Nersae, ārum, θ. αἱ Νέρσαι, πόλις τοῦ Λατίου.

Nerŭlum, i. Νέρουλον, πόλις Λευκανίας **-lensis**, e, τῶν Νερούλω.

Nerva, ae, ἀ. Νερούας, αὐτοκράτωρ.

nervĭa, ae, θ. νεῦρία, χορδή.

Nervĭi, ōrum, ἀ. πλ. Νερούϊοι, ἔθνος τῆς ἀρκτώας Γαλλίας.

nervōse, ἐπίρ. (-ius)· 1) (π.) νευρωδῶς· 2) ἰσχυρῶς, γενναίως· 3) μετφ. ἐπὶ λόγου· ἐντόνως, ἐμφατικῶς, μετὰ δεινότητος.

nervōsus, a, um, (nervus)· 1) (π.) νευρώδης· 2) (μ.) ἰσχυρός, γενναῖος· 3) μετφ. ἐπὶ λόγου· νευρώδης, ἔντονος.

nervŭli, ōrum, ἀ. πλ. νεῦρα, ἰσχύς.

nervus, i, ἀ. 1) νεῦρον, τένων. 2) μετφ. ἐν τῷ πλ. α) νεῦρα, δύναμις, ἰσχύς· β) ἐπὶ λόγου· ἰσχὺς λόγου, δεινότης, τόνος· 3) χορδὴ ὀργάνου· 4) νευρὰ τόξου· 5) δέρμα, δι' οὗ ἀσπὶς ἐπενδύεται· 6) ἱμάς· ἐντ. α) δεσμός, ἄλυσις· β) ἡ εἰρκτή.

ne-scĭo īvi κ. ĭi, ītum, ī̆. 1) οὐκ οἶδά τι, ἀγνοῶ τι, aliquid; - eum venisse, οὐκ οἶδα ὅτι ἐλήλυθεν· ἐντ. α) nescio an = οὐκ οἶδα εἰ, ἴσως, τάχα (ἰδὲ an)· β) nescio qui, quae, quod (ἐρωτημ.) nescio quis, quid (πρὸς δεῖξιν τινὸς ἀορίστου καὶ ἀγνώστου) = οὐκ οἶδά τις, οὐκ οἶδα ὅστις, ὅ,τι, = τίς, τί· n. quā permotus divinatione, οὐκ οἶδα τίνι προαισθήσει· = προ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αισθήσει τινὶ (ἀγνώστῳ ἐμοί)· prope me n. quis loquitur, πλησίον ἐμοῦ (οὐκ οἶδα ὅστις) διαλέγεταί τις· 2) -Latine Graece, ἀπείρως ἔχω τῆς Ἑλλ. τῆς Λατινικῆς γλώσσης· -rasci, οὐκ οἶδα, οὐ δύναμαι ὀργίζεσθαι· vox missa -it reverti = οὐ δυνατόν ἐστιν ἐπανελθεῖν· 3) (π. καὶ μ.) οὐ γιγνώσκω, aliquem, literas.

nescĭus, a, um, (nescio)· 1) οὐκ εἰδώς, ἀγνοῶν, futuri τὸ μέλλον, veri τὸ ἀληθές· non sum n. = οὐκ ἀγνοῶ, εὖ οἶδα. 2) (π.) οὐκ εἰδώς, οὐ δυνάμενος, fari λαλεῖν· 3) (ἀρχ. καὶ μ.) παθητ. (ὡς τὸ ignarus) = ἄγνωστος· -um habeo (aliquid) οὐ γιγνώσκω τι.

Nēsis, ĭdis, θ. Νησίς, νησίδιον πλησίον τῆς Νεαπόλεως, ἡ θερινὴ διατριβὴ τῶν εὐγενῶν Ῥωμαίων.

Nessus, i, ἀ. Νέσσος, ποταμ. Θρᾴκης· ἐντ. **Nessēus**, a, um, Νέσσειος.

Nestor, ŏris, ἀ. Νέστωρ, βασιλεὺς τῆς Πύλου· ἐντ. **Nestŏrĕus**, a, um, Νεστόρειος, Νεστόρειος.

nētē, es, θ. νήτη (δῆλ. χορδή).

Nētum, i, οὐ. Νήτον, πόλις τῆς Σικελίας, ἐντ. **Netīni**, ōrum καὶ **-nenses**, ium, ἀ. πλ. οἱ Νεαιτῖνοι.

neu, = neve, ὃ ἰδέ.

neuter, tra, trum, γεν. neutrīus, δοτ. neutri (ne, uter)· 1) οὐδέτερος, μηδέτερος: in -am partem moveor = μετ' οὐδετέρου εἰμί, οὐδέτερος (ἀδιάφορος) εἰμι· neutri, οὐδέτεροι· 2) ἐν τῇ γραμ. nomina -a, ὀνόματα οὐδέτερα· 3) ἐν τῇ φιλοσ. neutrae res ἢ οὐσ. neutra, = ἀδιάφορα, οὔτε ἀγαθὰ οὔτε κακά, Κικέρ.

neutĭquam (συγγ. τοῖς neu, neuter) ἐπίρ., οὐδαμῶς, οὐδαμῇ.

neutrālis, e, (μ.), οὐδέτερος·

neutro, ἐπίρ. (neuter), οὐδετέρωσε, πρὸς οὐδέτερον μέρος.

neutr-ŭbi, ἐπίρ. ἐν οὐδετέρῳ τόπῳ.

nĕ-ve, καὶ (ἀποβαλ. τοῦ e) **neu**, σύνδ. = et ne, καὶ μή, μήτε· neu sinas, καὶ μὴ ἐάσῃς· neve . . . neve, μήτε . . . μήτε.

nĕ-vŏlo κτλ., ἀρχ. ἀντὶ nolo.

nex, nĕcis, θ. (συγγ. τῷ νέκυς)· 1) (βίαιος) θάνατος, φόνος· (π.) imbutus nece Phrygiā, πλήρης τοῦ αἵματος τοῦ φονευθέντος Φρυγός· 2) (μ.) (αὐτόματος) θάνατος, τελευτή.

nexi, ōrum, ἀ. πλ. ἰδὲ necto,

nexĭlis, e, πλεκτός, ἐμπεπλεγμένος.

nexŭi, πρκμ. τοῦ necto.

nexum, i, οὐ. (necto)· 1) τὸ ὑποχείριον (τοῦ ὀφειλέτου) τῷ δανειστῇ· ἡ ἐπὶ χρόνον τινὰ ἕνεκα χρέους δουλεία τοῦ ὀφειλέτου: n. inībant, ὑποχείριοι ἐγίγνοντο τῷ δανειστῇ· libero, tollo n. ἐλευθερῶ τὸν ὀφειλέτην τῆς δουλείας· 2) ἡ ἐπὶ χρόνον τινὰ κτῆσις τινός· ἰδὲ mancipatio.

1. nexus, us, ἀ. (necto)· 1) πλοκή, ἐμπλοκή, συμπλοκή· 2) μεταφ. (Τάκ.), α) -legis, αἱ ἐκ τοῦ νόμου φυόμεναι περιπλοκαί· 2) συνάφεια, δεσμός· 3) ἰδὲ nexum: nexu alicujus sum ἢ lio, ὑποχείριός εἰμι ἢ γίγνομαί τινι (τῷ δανειστῇ)· qui se nexu obligavit, ὁ ὑποχείριος τῷ δανειστῇ γενόμενος.

2. nexus, a, um, ἰδὲ necto.

ni, A) ἐπίρ.= non, οὐ, ἀλλὰ μόνον ἐν τοῖς συνθ. quidni καὶ nimirum, ἃ ἰδέ· B) σύνδ. α) (ἀρχ. καὶ π.) = nē, μή· 2) συνηθ. = nisi, εἰ μή.

Nīcaea, ae, θ. Νίκαια, 1) πόλις τῆς Βιθυνίας· ἐντ. **Nicaeensis**, e, Νικαεύς· οὐσ. **-enses**, ium, ἀ. πλ. οἱ Νικαεῖς· 2) πόλις Λοκρίδος πρὸς ταῖς Θερμοπύλαις· 3) πόλις Λιγυστικῆς, ταυτὸν Nizza· 4) πόλις τῶν Ἰνδιῶν.

nīco, nīci, γ'. (Πλ.), νεύω.

Nīcŏmēdes, is, ἀ. Νικομήδης.

Nīcŏmēdīa, ae, θ. Νικομήδεια.

Nīcŏpŏlis, is, θ. Νικόπολις ἡ ἐν Ἠπείρῳ.

nicto, α'. καὶ **-tor**, ἀποθ. α'. (nico)· 1) σκαρδαμύττω τοῖς ὀφθαλμοῖς, νεύω τινί, alicui· 2) ἐπὶ πυρός· πάλλω.

nictus, us, ἀ. (π.) σκαρδαμυγμός.

nīdāmentum, i, οὐ. τὰ πρὸς νεοσσοποιΐαν·

nīdĭfĭco, α'. νεοσσιάν, καλιὰν ποιῶ.

nīdĭfĭcus, a, um, νεοσσιὰν ποιῶν.

nīdor, ōris, ἀ. κνίσσα.

nīdŭlus, i, ἀ, μικρὰ νεοσσιά.

nīdus, i, ἀ. νεοσσιά, καλιά· ἐντ. (π.) α) οἰκία: servo -um, οἴκοι διατρίβω· β) = πόλις ἐπὶ ὕψους κειμένη· γ) nidi = οἱ νεοσσοί.

nĭger, gra, nigrum (-ior, -rimus), 1) μέλας, -αινα, -αν, homo, crinis, nubes; -fluvius, ποταμὸς μέλας (ἕνεκα τοῦ βάθους)· 2) μεταφ. α) ὁ σκότος ποιῶν, ventus· β) (= ater), μέλας, λυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γρός, ἀπαίσιος: dies n. ἡ τοῦ θανάτου ἡμέρα· ignes -i ἡ πυρά· sol n. ὀλέθριος ἡμέρα· γ) = πονηρός, ἀσεβής, homo ἄνθρωπος.

Nīgĭdĭus (Figulus) Νιγίδιος, ὄνομαστὸς γραμματικὸς ἐπὶ Κικέρωνος· ἐντ. **-diānus**, a, um, τοῦ Νιγιδίου.

nigresco, grŭi, (ἄνευ σ.), γ'. (niger) μελαίνομαι, μέλας γίγνομαι.

nigrĭtĭa, ae, θ. = nigritudo.

nigrĭtūdo, ĭnis, θ. μελανότης, μελανία.

nīgro, ā. μελανίζω, μέλας εἰμί.

nigror, ōris, ά. = nigrituto.

nĭhil καὶ (σπ. καὶ ὡς τὸ πολὺ π.) **nīl** [ἐκ τοῦ nihilum, ὃ σύνθ. ἐκ τοῦ ni = ne καὶ hilum], οὐ. ἄκλ. 1) οὐδέν, μηδὲν -mali, οὐδὲν κακόν· -bonum, οὐδὲν ἀγαθόν· non n., τί· -non, οὐδὲν ὅτι οὐ = ἅπαντα· 2) ἴδιαι φράσεις· α) -agis, οὐδὲν πράττεις, μάτην πονεῖς· β) -quicquam ἢ n. unum, οὐδὲ ἕν· γ) -nisi, -aliud nisi, οὐδὲν εἰ μή, οὐδὲν ἄλλο ἢ· δ) -est quod (cur, quominus), οὐδέν ἐστιν ὅτι ὄ, οὐδεμία αἰτία ἐστὶν ἐφ' ᾗ· ε) -ad me (ὑπον. pertinet) οὐδὲν πρὸς ἐμέ· ς) -minus, πάντων ἥκιστα = οὐδαμῶς· ζ) -nihi cum illo, οὐδὲν ἐστί μοι πρὸς ἐκεῖνον· η) ἀντὶ nemo, nullus: n. illo eloquentius fuit, οὐδεὶς εὐφραδέστερος ἐκείνου ἦν· -sum οὐδεὶς (οὐδέν) εἰμι· θ) ἐπιρρηματ. (ἰσχυρότ. τοῦ non) = οὔ, οὐδέν, οὐδαμῶς: illi n. moti sunt, ἐκεῖνοι οὐκ (οὐδαμῶς) ἐκινήθησαν.

nihil-dum, ἐπίρ. οὐδέν πω, οὐδὲν ἔτι.

nihĭlōmĭnus, ἴδε nihilum.

nihĭlum, i, οὐ. (ni = ne, hillum), οὐδέν, μηδέν. Εὔχρηστοί δ' εἰσιν οἱ τύποι: 1) ἡ γεν. nihili ἐν φράσ. τιμὴν καὶ ἀξίαν δηλούσαις: facio (aestimo pendo) aliquid nihili, οὐδενός ἄξιον ἡγοῦμαί τι, περὶ οὐδενὸς ποιοῦμαί τι· homo n., ἄνθρωπος οὐδενὸς ἄξιος, οὐτιδανός· 2) ἡ αἰτ. nihilum, συνήθ. μετὰ τῆς προθ. ad καὶ in: ad nihilum redigo, οὐδενῶ, ἀφανίζω τι· ad n. venio, recido, ἀφανίζομαι, ἀπόλλυμαι· καὶ (π.) ἐπιρρημ. ὡς τὸ nihil ἰσχυρότ. τι non: οὐδέν, οὐδαμῶς, distat διαφέρει· 3) ἡ ἀφαιρ. nihilo· α) ἐπὶ συγκριτ. οὐδὲν (κατ' οὐδέν): n. sapientior, οὐδὲν σοφώτερος· n. minus (secius) ἢ **nihillominus**, οὐδὲν ἧττον· n. aliter, οὐκ ἄλλως, κατ' οὐδὲν ἄλλως· β) μετὰ τῆς προθ. de: de n. = ἐξ οὐδενός, ἢ = εἰκῇ, ἄνευ αἰτίας· γ) μετὰ τῆς προθ. pro: pro n. habeo, παρ' οὐδὲν τίθεμαι.

nīl (σπ. καὶ ὡς τὸ πολὺ π.) = nihil.

Nīlus, i, ά. ὁ Νεῖλος, ποταμὸς τῆς Αἰγύπτου· ἐντ. 1) **Nīlĭăcus**, a, um, τοῦ Νείλου· (π.) = Αἰγυπτιακός· 2) **Nīlōtĭcus**, a, um (μ.) Νειλωτικός· 3) **Nilōtis**, ĭdis, ἐπίθ. Νειλῶτις· οὐσ. θ. = διῶρυξ.

nimbĭfer, ĕra, ĕrum, θυελλώδης.

nimbōsus, a, um, ζοφερός, πλήρης ὑετίων νεφῶν, θυελλώδης.

nimbus, i, ά. 1) γνόφος, ζόφος, ζοφερὰ ὁμίχλη, χειμών, θύελλα· μετφ. hic n. = τοῦτο τὸ δεινόν· 2) νέφος ὑετίον. ὕπαμβρος νεφέλη· 3) ὄμβρος, ὑετὸς βαγδαῖος· 4) μετφ. (π.) ὄμβρος, νέφος, (μέγα) πλῆθος· 5) ὁμίχλη, ἀχλύς, νεφέλη (ἣ οἱ θεοὶ ἐκαλύπτοντο).

nĭmĭo, ἴδε nimius.

nĭmĭŏpĕre, ἐπίρ. ἴδε opus.

nĭmīrum, ἐπίρ. (ni ἀντὶ ne = non, καὶ mirum, κυρ. οὐδὲν θαῦμα)· 1) ὄντως, ὄντι, τῷ ὄντι, ἀναμφιλέκτως (ὡς τὰ πολλὰ εἰρωνικῶς).

nĭmis, ἐπίρ. 1) ἄγαν, λίαν, μᾶλλον τοῦ δέοντος, ὑπερβαλλόντως: - saepe, ἄγαν συχνῶς· καὶ οὐσ. μετὰ γενικ. n. insidiarum, ὑπερβάλλων δόλος· 2) non (haud) nimis = οὐκ ἄγαν, οὐ πάνυ· 3) (Πλ.) = ἄγαν, σφόδρα, id genus odi, τοῦτο τὸ γένος μισῶ.

nĭmĭus, a, um, (nimis)· 1) ὁ ἄγαν, ὁ λίαν ὑπερβάλλων, ὑπέρμετρος: homo n. ἄνθρωπος ἄγαν ὄνατὸς καὶ ὑπερέχων· legio n. λεγεὼν ἀπειθής· animus n. ψυχὴ ὑπερήφανος· -ii secundis rebus (Τάκ.), θρασεῖς ἐπὶ τῇ εὐπραγίᾳ· ἐντ. καὶ n. in re, ὑπερβολικός· -mero (π.) ὁ λίαν ἀκρατοπότης· καὶ μετὰ γενικ. -sermonis, ὁ λίαν πολυλόγος· συγκ. τὸ οὐδ. **nimium**, οὐσιαστικῶς = τὸ ἄγαν, ἡ ὑπερβολή· 2) (Πλ.) διαφέρων, pulchritudine κάλλει· 3) ἐπιρρημ. α) **nĭmio**, μάλ. μετὰ τοῦ συγκριτ. plus, = ὑπερβαλλόντως πολύ· β) **nimium** = nimis, ἄγαν, λίαν, πάνυ· non n. οὐ θαυμαστόν· n. quantum valent, θαυμαστὸν ὅσον (= πάνυ) ἰσχύουσι (κυρ. = valent tantum, quantum n. est).

ningo, ninxi, (ἄνευ σ.) γ'. συνήθ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁπρος. νίφει, χιονίζει· (Λουκρ.) ningunt floribus, πάδουσιν ἄνθη.

ninguis is, θ. (ἀρχ.) = nix.

Nīnus ἡ **Nīnos**, i. Νῖνος· 1) θ. = ἡ Νινευή· 2) ἀ. βασιλεὺς τῆς Ἀσσυρίας.

Nīnўa, ae, ἀ. Νινιάς, υἱὸς Νίνου.

Niŏbe, es θ. Νιόβη· ἐντ. **Niobēus**, a, um, τῆς Νιόβης.

Niphātes, ae, ἀ. Νιφάτης, χιονοσκεπὲς ὄρος τῆς Ἀρμενίας.

Niptra ōrum, οὐ Νίπτρα, τραγῳδία τις τοῦ Πακουβίου.

Nīrĕus, ĕi ἢ eos, ἀ. Νιρεύς.

Nisaeus, **Nisēis**, **Nisēĭus**, ἴδε Nisus.

nisi, σύνδ. (ne, si)· 1) εἰ μή, ἐάν μή· - insanio, εἰ μὴ μαίνομαι· -forte, -vero, ἢ καὶ ἁπλῶς nisi = εἰ μὴ ἄρα, εἰ μή γε, ἐκτὸς εἰ μή· ἐνίοτε εὕρηται nisi si = nisi· 2) μετ' ἄρνησιν· = εἰ μή, πλήν, ἐκτός· nemo n. improbus, οὐδεὶς εἰ μὴ πονηρός· ἐντ. α) μετ' ἀρνητ. πρότ. πολλάκ. = πλήν, ὅμως, ἐν τούτοις· β) n. quod ἢ ut, πλὴν ὅτι. γ) nisi si quid, πλὴν εἴ τι, εἰ μή τι.

1. Nīsus, i, ἀ. Νῖσος· 1) βασιλεὺς τῶν Μεγάρων, πατὴρ τῆς Σκύλλας· ἐντ. α) **Nīsaeus**, a, um, Νῖσαιος· -canis, ἡ Σκύλλα· β) **Nisĭas**, ădis, θ. Νισιάς· (π.) = Μεγαρική· γ) **Nisēis**, ĕidis, θ. Νησηΐς = ἡ Σκύλλα· δ) **Nisēĭus**, a, um, Νισηΐος, τοῦ Νίσου· -virgo, ἡ Σκύλλα· 2) (π.) φίλος τοῦ Εὐρυάλου.

2. nīsus, καὶ nixus, us, ἀ. (nitor 1)· 1) ἔρεισις, ἐπέρεισις εἴς τι, ἡ ὁρμὴ ἐπί τι, φορά, κίνησις· sedato n. = βαδίσει· - pinnarum, -i insoliti = φυγή, πτῆσις· - per saxa = ἀνάβασις, ἀναρρίχησις· tela nisu vibro, μεθ' ὁρμῆς πάλλω· 2) (μ.) διάτασις, ἔντασις, ἀπουδή· 3) (π. καὶ μ.), ὠδίς, τόκος, λοχεία.

3. nīsus, a, um, μετχ. τοῦ nitor.

nītēdŭla, ae, θ. εἶδος ἀρουραίου μυὸς ἢ σκιούρου.

1. nītens, ntis, (-ior) [μετχ. τοῦ niteo]· 1) στίλβων, λάμπων· oculi· μετφ. α) = καλός, εὐειδής· β) εὔτραφής, παχύς, εὐθαλής· γ) ἐπὶ λόγου· κομψός, γλαφυρός· δ) περιβόητος, ὀνομαστός.

2. nītens, ntis, μετχ. τοῦ nitor.

nītĕo, tŭi, (ἄνευ σ.), ēre. (hix, ὅθεν κυρ. ὡς γιὼν στίλβω)· 1) στίλβω, λάμπω, lumine τῷ φωτί· 2) μετφ. α) ἐπὶ ζώων· λάμπω λιπαρότητι = εὐτραφής, παχύς εἰμι· β) ἐπὶ ἀνθρ. στίλβω καὶ λέει = εὐειδὴς εἰμι· tu mihi nites, εὐειδὴς φαίνει μοι ὤν. γ) ὀνομαστὸς εἰμι, gloriā recenti· δ) ἀπολύτ. = ἀρέσκω· εἰ ἐπὶ λόγου· κομψός, γλαφυρός εἰμι· ς) εὐθαλὴς εἰμι· θάλλω κτλ.

nītesco, nitŭi, γ'. (π. καὶ μ.), στιλπνός, λαμπρὸς γίγνομαι· ἐντ. μετφ. λαμπρός, εὐειδής, λιπαρός, ὀνομαστὸς γίγνομαι, ἰδὲ niteo.

nītĭde, ἐπίρ. λαμπρῶς, μεγαλοπρεπῶς.

nītĭdiuscŭle, ἐπίρ. (Πλ.) μεγαλοπρεπῶς.

nītĭdiuscŭlus, a, um (Πλ.) πάνυ στίλβων μύροις, caput.

nītĭdus, a, um, (-ior, -issimus) [niteo]· 1) στιλπνός, λαμπρός· μάλ. α) ἐπὶ λευκοῦ χρώματος· -dies, λαμπρά, αἰθρία ἡμέρα· β) ὁ μύροις κ.τ. ὁμ. στίλβων, ἐντ. homo n. = μυροβαφής, μυρίων· 2) -α) λιπαρός, εὐτραφής· β) εὐειδής, κομψός, χαρίεις· γ) μετφ. πεπαιδευμένος, αἰσθητικός (ἀντίθ. rusticus), homo· καὶ ἐπὶ λόγου = κομψός, γλαφυρός· δ) εὐθαλής, θαλερός, εὐδαίμων, agri, colles· -annus, εὐδαίμων ἔτος.

Nitiobrĭges, gum, ἀ. πλ. Νιτιόβριγες, Κελτικὸν ἔθνος ἐν Ἀκουιτανίᾳ.

1. nītor, ōris, ἀ. (niteo)· 1) στίλβη, στιλπνότης, λαμπρότης, μάλ. τοῦ λευκοῦ χρώματος· -diurnus, -τὸ φῶς (τοῦ ἡλίου)· ἐντ. (π.) = χρῶμα· 2) μετφ. α) τὸ λιπαρόν, τὸ κάλλος, τὸ εὐειδές· β) ἡ κομψότης, ἁγλαΐα, χάρις· γ) μάλ. ἐπὶ λόγου· κομψότης, γλαφυρότης, τὸ κομψὸν ὕφος· δ) στίλβη, λαμπηδών, δόξα, εὐγένεια.

2. nītor, nīxus καὶ nisus sum, ἀποθ. γ'. 1) ἐρείδομαι, ἐπερείδομαι, baculo τῇ βακτηρίᾳ, (π.) in hastam τῷ δόρατι· -genibus, εἰς τὰ γόνατα πίπτω· 2) -α) ὀρθοῦμαι· β) ἐπὶ πτηνῶν κ.τ.ὁμ. -alis = αἰωροῦμαι· γ) ἀπολύτ. βαδίζω, χωρῶ, humi· 3) μετφ. α) ἀπερείδομαι εἴς τι, ἀνήρτημαι ἐκ τινος, εἰμὶ ἐπί τινι· salus reipublicae -itur in illo homine· β) θαρρῶ ἐπί τινι, πιστεύω, πέποιθά τινι, spe aliqua, consilio alicujus· 4) διατείνομαι, τείνω πρός τι σημεῖον (μάλ. εἰς ὕψος τι ἀρικέσθαι), ad coelum· - gradibus, αἴρομαι, ἀναβαίνω· -pennis in aëra, αἴρομαι, πέτομαι· ἐντ. μετφ. τείνω, σπεύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

